Ὁ κ. Γ. Λεμπεσάκης ἐκ Χίου

ἐγγραφεὶς εἰς τοὺς φοιτητὰς τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου τούτου, κατὰ τὰ νενομισμένα, καὶ τὸν ὑπὸ τοῦ Ἀκαδημαϊκοῦ νόμου ὡρισμένον χρόνον ἐν τῇ σπουδῇ τῆς Θεολογίας πληρώσας, ὑπέστη εὐδοκίμως τήν τε ἔγγραφον καὶ τὴν προφορικὴν δοκιμασίαν, προσήγαγε δὲ καὶ τὴν νενομισμένην ἐναίσιμον διατριβήν, ἥτις τοῖς ἀναγνοῦσι Καθηγηταῖς ἱκανῶς ἔδοξεν ἔχειν.

Ἐρωτῶ οὖν τὴν Σχολὴν εἰ, τὸ παρεσχημένον, Ἀκαδημαϊκῆς μαθήσεως δεῖγμα τοῦ ὑποψηφίου κ. Γ. Λεμπεσάκη ἐκ Χίου ἱκανὸν κρίνουσα, δοκιμάζει αὐτὸν εἰς Προλύτην.

Ἐρωτῶ δὲ καὶ τὸν Πρύτανιν εἰ τῇ τῆς Σχολῆς συναινεῖ γνώμῃ.

Καθομολογήσατε νῦν ἃ ὁ Ἀκαδημαϊκὸς νόμος κελεύει πάντα τὸν βίον τηρεῖν τοὺς τοῦ Προλύτου ἀξιουμένου βαθμοῦ.

Ἐπειδήπερ οὐ μόνον ἐν τῇ εἰθισμένῃ δοκιμασίᾳ τῆς ἐπιστήμης ἔλεγχον παρέσχες σαφέστατον, ἀλλὰ καὶ τῇ διατριβῇ, ἣν φιλοπονήσας προσήγαγες τῇ τῶν Θεολόγων Σχολῇ ἄξιον ἀπέφηνας σεαυτὸν τοῦ Ἀκαδημαϊκοῦ τούτου ἀξιώματος, κἀπὶ τούτοις ἡ μὲν Σχολὴ ἐδοκίμασεν ἡμᾶς κατὰ τὰ νόμιμα, ὁ δὲ Πρύτανις τῇ ταύτης δοκιμασίᾳ ἐπένευσε, διὰ ταῦτα,

Ἐγὼ Προκόπιος Οἰκονομίδης τακτικὸς Καθηγητὴς τῆς Θεολογίας, νῦν δὲ τῆς τῶν Θεολόγων Σχολῆς Κοσμήτωρ, χρώμενος τῇ δυνάμει, ἣν παρὰ τῶν Ἀκαδημαϊκῶν νόμων καὶ τῆς Σχολῆς ἔχω λαβών, ἡμᾶς τὸν κ. Γ. Λεμπεσάκην Προλύτην τῆς Θεολογίας δημοσίᾳ ἀναγορεύω, καὶ πάσας ὑμῖν ἀπονέμω τὰς προνομίας τὰς τῷ Ἀκαδημαϊκῷ τουτῳὶ ἀξιώματι παρεπομένας, συνθιασώτην δὲ καὶ ἑταῖρον προσαγορεύων, τῆς Ἐπιστήμης διὰ παντὸς τοῦ βίου ἔχεσθε παραινῶ.

31 Μαΐου 1894.